UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Apanta Ta Ellēnisti Heuriskomena

**Origenes**

**Rothomagi, 1668**

Paucis deinde interjectis haec subjungit.

urn:nbn:de:hbz:466:1-19358

Visual Library

# EX HOMILIIS
## IN EPISTOLAM
## AD EBRÆOS.

*Interprete HENRICO VALESIO.*

STilus Epistolæ, quæ inscribitur ad A Ebræos, cavet illa sermonis rusticitate, quæ propria est Apostoli, quippe qui rudem atque imperitum sese confitetur in sermone, idest in forma ac ratione dicendi. Verum Epistola illa & in verborum compositione majorem præfert græci sermonis elegantiam, ut fatebitur quisquis de stili differentia perite judicare potest. Et præterea sententias continet admirabiles, nec scriptis Apostolice ullatemus inferiores. Atque id verissimum esse assentientur, quicunque Apostolorum scripta attente perlegerint. B

2.Cor.11.6.

*Paucis deinde interjectis hæc subjungit.*

Ego vero ita censeo, sententias quidem ipsas Apostoli esse; dictionem autem & compositionem verborum esse alterius cujusdam qui dicta Apostoli commemorare & quasi in commentarios redigere voluerit ea quæ à magistro audiverat. Proinde siquæ Ecclesia hanc C Epistolam pro Paulina habet, eo nomine laudetur. Neque enim temere majores eam Pauli esse tradiderunt. Quis autem revera illam scripserit, soli Deo notum esse opinor. Sed scriptores quorum monumenta ad nos usque pervenerunt, partim Clementi Romanæ urbis Episcopo eam adscribunt; partim Lucæ, qui Evangelium & Actus Apostolorum literis prodidit.

A Ο Καρακτὴρ τῆς λέξεως τῆς πρὸς ἑβραίους ἐπιγεγραμμένης ἐπιστολῆς οὐκ ἔχει τὸ ἐν λόγῳ ἰδιωτικὸν τοῦ ἀποστόλου, ὁμολογήσαντος ἑαυτὸν ἰδιώτην εἶναι τῷ λόγῳ, τουτέστι, τῇ φράσει.* ἀλλὰ ἐστὶν ἡ ἐπιστολὴ συνθέσει τῆς λέξεως ἑλληνικωτέρα, πᾶς ὁ ἐπιστάμενος κρίνειν φράσεων διαφορὰς, ὁμολογήσαι ἄν· πάλιν τε αὖ ὅτι τὰ νοήματα τῆς ἐπιστολῆς θαυμάσιά ἐστι, καὶ οὐ δεύτερα τῶν ἀποστολικῶν ὁμολογουμένων γραμμάτων, καὶ τοῦτο ἂν συμφήσαι εἶναι ἀληθὲς πᾶς B ὁ προσέχων τῇ ἀναγνώσει τῇ ἀποστολικῇ·

* ἴσ. ἀλλ' ἴσ. δεῖ

Τούτοις μεθ' ἕτερα ἐπιφέρει λέγων·

Ἐγὼ δὲ ἀποφαινόμενος εἴποιμ' ἂν, ὅτι τὰ μὲν νοήματα τοῦ ἀποστόλου ἐστίν. ἡ δὲ φράσις, καὶ ἡ σύνθεσις, ἀπομνημονεύσαντός τινος τὰ ἀποστολικὰ, καὶ ὥσπερεὶ σχολιογραφήσαντος τὰ εἰρημένα ὑπὸ τοῦ διδασκάλου· εἴ τις οὖν ἐκ- C κλησία ἔχει ταύτην τὴν ἐπιστολὴν ὡς παύλου, αὕτη εὐδοκιμείτω καὶ ἐπὶ τούτῳ. οὐ γὰρ εἰκῆ οἱ ἀρχαῖοι ἄνδρες ὡς παύλου αὐτὴν παραδεδώκασι· τίς δὲ ὁ γράψας τὴν ἐπιστολὴν, τὸ μὲν ἀληθὲς θεὸς οἶδεν· ἡ δὲ εἰς ἡμᾶς φθάσασα ἱστορία, ὑπό τινων μὲν λεγόντων, ὅτι κλήμης ὁ γενόμενος ἐπίσκοπος ῥωμαίων ἔγραψε τὴν ἐπιστολήν. ὑπό τινων δὲ, ὅτι λουκᾶς ὁ γράψας τὸ εὐαγγέλιον, καὶ τὰς πράξεις·

FINIS SECUNDÆ PARTIS.

INDEX